


# 10 FEBRUARIE
# PARACLISUL
# SF.IERARH-MUCENIC
# HARALAMBIE AL MAGNEZIEI

www.tezaurliturgic.ro

# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΙΕΡΟΜΑΡΤΥΡΑ ΧΑΡΑΛΑΜΠΗΝ

## Ψαλλόμενος ὑπέρ προόδου τῆς μαθητιώσης καί σπουδαζούσης Νεολαίας

*Ποιηθείς ὑπό Χαραλάμπους Μ. Μπούσια*
*Διδάκτορος Χημικοῦ,*
*Ἐγκριθείς δέ διά τοῦ ὑπ' ἀριθμ. Πρωτ. 2609/86/ 757/16-6-87 ἐγγράφου τῆς Διαρκοῦς Ἱερᾶς Συνόδου τῆς Ἐκκλησίας τῆς Ἑλλάδος*
*Τό πρῶτον τύποις ἐκδιδόμενος*

**Εὐλογήσαντος τοῦ Ἱερέως, τό Κύριε εἰσάκουσον, μεθ' ὅ τό Θεός Κύριος ὡς συνήθως καί τό ἑξῆς:**

**Ἦχος δ΄. Τῇ Θεοτόκῳ ἐκτενῶς.**

Νεοηλίκων τούς χορούς, ἀθλοφόρητε,
τούς ἐκζητοῦντας τήν θερμήν σου βοήθειαν,
θαυματουργέ Χαράλαμπες, σοφίας λαμπτήρ,
σκέπασον καί ἔμπλησον φωτισμοῦ ἀληθείας
ἤθους τε καί γνώσεως μαθητῶν τάς καρδίας
καί τῆς σοφίας δεῖξον τοῦ Θεοῦ
αὐτούς ταμεῖα καί σκεύη πολύτιμα.

**Δόξα.** Τό Ἀπολυτίκιον τοῦ Ἁγίου

Ὡς στῦλος ἀκλόνητος τῆς Ἐκκλησίας Χριστοῦ, καί λύχνος ἀείφωτος τῆς οἰκουμένης σοφέ, ἐδείχθης Χαράλαμπες· ἔλαμψας ἐν τῷ κόσμῳ διά τοῦ μαρτυρίου, ἔλυσας καί εἰδώλων τήν σκοτόμαιναν μάκαρ· διό ἐν παρρησίᾳ Χριστῷ πρέσβευε σωθῆναι ἡμᾶς.

**Καί νῦν.** Θεοτοκίον

Οὐ σιωπήσομέν ποτε, Θεοτόκε,
τάς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι
εἰ μή γάρ σύ προΐστασο πρεσβεύουσα
τίς ἡμᾶς ἐρρύσατο
ἐκ τοσούτων κινδύνων;
Τίς δέ διεφύλαξεν
ἕως νῦν ἐλευθέρους;
Οὐκ ἀποστῶμεν, Δέσποινα, ἐκ σοῦ·
σούς γάρ δοούλους σῴζεις ἀεί ἐκ παντοίων δεινῶν.

Εἶτα ὁ Ν΄ Ψαλμός καί ὁ Κανών, οὗ ἡ ἀκροστιχίς:
«ΧΑΡΑΛΑΜΠΕΣ ΧΑΡΑΣ ΠΛΗΡΩΣΟΝ ΜΑΘΗΤΩΝ ΚΑΡΔΙΑΣ»

**Ὠδή α΄** Ὑγράν διοδεύσας.

Χαράλαμπες, ἔνδοξε ἀθλητά,
πυρσέ θείου φέγγους
τηλαυγές τε καί παμφαές,
τούς νόας εἰρήνευσον ἐν τάχει
τῶν προστρεχόντων τῇ θείᾳ σου χάριτι.

Ἁμίλλης ἀξίωσον εὐγενοῦς
τήν μαθητιῶσαν
νεολαίαν τήν εὐλαβῶς
πρεσβείαν τήν σήν ἐκδεχομένην,
ἱερομάρτυς Κυρίου Χαράλαμπες.

www.tezaurliturgic.ro

Ῥανίδας ἱδρῶτος τῶν μαθητῶν
τῶν ζήλῳ ἐνθέῳ
κοπιόντων ὑπερφυῶς,
Χαράλαμπες μάρτυς, μή παρίδης,
ἀλλ' εἰς χαρᾶς δρόσον ταύτας μετάτρεψον.

Ἀπάλλαξον ἄχθους ὀδυνηροῦ
τούς ἐν τῷ σταδίῳ
τῆς ἀσκήσεως μαθητάς
πιστῶς ῥιπτωμένους καί τῆς νίκης
αὐτοῖς τόν κότινον, ἅγιε, δώρησαι.

**Θεοτοκίον.**

Λειμῶνα ἀγάπης τῶν μαθητῶν,
νεότητος σκέπην,
ἀντιλήπτορα καί φρουρόν
σέ ἔγνωμεν, Μῆτερ τοῦ Ὑψίστου,
ἁγνή Παρθένε, Θεόνυμφε Δέσποινα.

**Ὠδή γ'** Οὐρανίας ἀψῖδος

Ἀλυτάρχης ἀγώνων γενοῦ, σοφέ ἅγιε,
ἐκπαιδευτικῶν πανωραίων,
ὁ ἐν τῷ σκάμματι
τῆς Μαγνησίας στερ'ρῶς
ἀθλήσας καί στεφηφόρους
νικητάς ἀνάδειξον
τούς προσιόντας σοι.

Μυστιπόλος ὑπάρχων Χριστιανῶν πάγκαλος
καί τοῦ Ἰησοῦ παραστάτης
ἐν θείοις δώμασι
τήν νεολαίαν ἡμῶν
πρός ἀληθείας λιμένα,
μάρτυς, μυσταγώγησον,
σέ ἱκετεύομεν.

Παρακλήτου δυνάμει θαυματουργεῖν ἴσχυσας
καί νεκρόν ἐγεῖραι θανάτου,
μάρτυς Χαράλαμπες·
ὅθεν καί τούς μαθητάς
τούς πεπτωκότας εἰς χάος
ἀγνωσίας ἔγειρον
πρός γνῶσιν κρείττονα.

Ἐπιστήμονας δεῖξον εἰλικρινεῖς, σώφρονας
μαθητῶν τούς πάνυ ἀρίστους
καί σκεύη τίμια
αὐτούς ἐντίμου ζωῆς,
δικαιοσύνης, ἀγάπης,
ἠθικῆς καί πίστεως,
σῶφρον Χαράλαμπες.

**Θεοτοκίον.**

Σῶσον τήν νεολαίαν, Μῆτερ Θεοῦ ἄχραντε,
καί ἐξ ἐνεστώσης ἀνάγκης,
ζάλης καί θλίψεων
ῥῦσαι αὐτήν, ἀγαθή,
καί τήν ὁδόν τῆς προόδου
τήν ψυχοσωτήριον
πᾶσιν ὑπόδειξον.

Ἀπάλλαξον,
ἱερομάρτυς, ἐξ ἄχθους τήν νεολαίαν
καί τήν νίκην τῆς ἐν Χριστῷ
προόδου, Χαράλαμπες,
αὐτῇ ἐπιβράβευσον ἐν τῷ βίῳ.

Ἐπίβλεψον
ἐν εὐμενείᾳ, πανύμνητε Θεοτόκε,
ἐπί τήν ἐμήν χαλεπήν
τοῦ σώματος κάκωσιν
καί ἴασαι τῆς ψυχῆς μου τό ἄλγος.

**Αἴτησις καί τό Κάθισμα.**
**Ἦχος β΄.** Πρεσβεία θερμή.

Σοφίας κρατήρ
καί πίστεως ἑδραίωμα,
μαρτύρων ἀστήρ,
Χαράλαμπες φανότατε,
ἐκτενῶς βοῶμέν σοι·
μαθητῶν τούς νόας διαύγασον
καί τῆς σοφίας ἔλλαμψον τό φῶς
ἐπί τήν τιμῶσάν σε νεότητα.

**Ὠδή δ΄.** Εἰσακήκοα Κύριε.

Χάριν εὗρες, Χαράλαμπες,
ἀρωγός γενέσθαι τῶν προστρεχόντων σοι·
ὅθεν καί τήν νεολαίαν σου
τήν σοί προσιοῦσαν ἐπιστήριξον.

Ἁμαρτίας νεότητος
καί ἀγνοίας εὔχου ἀεί πρός Κύριον
παραβλέψαι, τρισμακάριστε
ἀθλητά Χαράλαμπες, δεόμεθα.

Ῥαθυμίαν, ἀπόνοιαν
καί τήν ψυχοφθόρον, στεῤῥέ Χαράλαμπες,
ἀκηδίαν τῆς νεότητος
τῆς ἱκετευούσης σε ἀπέλασον.

Ἀθλοφόρε ἀήττητε,
ἐλατῆρα θλίψεων σέ γινώσκομεν
καί χαρᾶς κρουνόν ἀείῤῥοον·
ὅθεν σέ γεραίρομεν, Χαράλαμπες.

**Θεοτοκίον.**

Στεντορείως βοῶμέν σοι
καί ἐκδυσωποῦμέν σε, Μητροπάρθενε,
νεοήλικας βοήθησον
τούς ἐξ ἄχθους μέλλοντος συγκύπτοντας.

**Ὠδή ε΄.** Ἵνα τί με ἀπώσω.

Πανοαοίδιμε μάρτυς,
ὦ Χαράλαμπες, λόγον Θεοῦ ἐκήρυξας,
τρανῶς ἐν τῷ σταδίῳ
καί λυμεῶνος θράση
τοῦ κακίστου κατήσχυνας·
διό πιστῶν οἱ χοροί
ἀπαύστως σέ τιμῶσι.

Λιθαζόμενος ὄψει,
πολυτίμητε λίθε Χριστοῦ, Χαράλαμπες,
ὡσεί στεῤῥός ἀδάμας

www.tezaurliturgic.ro

ὑπήνεγκας τούς πόνους·
ὅθεν πίστει βοῶμέν σοι·
τούς νέους ὑπό παθῶν
λιθαζομένους σῶσον.

Ἥλοις οἱ τοῦ Σεβήρου
στρατιῶται σόν θεῖον σῶμα προσήλωσαν,
Χαράλαμπες· διόπερ
καί τήν μαθητιῶσαν
νεολαίαν τοῖς βέλεσι
τρωθεῖσαν τοῦ πονηροῦ
ἀνάψυξον εὐχαῖς σου.

**Θεοτοκίον.**

Ῥοδεῶνα ἀφάτου
εὐωδίας καί κάλλους, Ῥοδή χρηστότητος,
τήν νεολαίαν δεῖξον
τήν σέ ᾠδαῖς εὐσχήμοις
ἀνυμνοῦσαν καί κράζουσαν·
ὀσφράδιον θεϊκόν,
ἡμῶν προστάτις ἴσθι.

**Ὠδή στ΄.** Τήν δέησιν.

Ὡράϊσον
τάς ψυχάς, Χαράλαμπες,
τῆς νεότητος καί τρίβους εὐθείας
αὐτῇ ὑπόδειξον, ὁ ὡραΐσας
τήν Ἐκκλησίαν ῥανίσιν αἱμάτων σου,
μαρτύρων ἄνθος μυριστόν
καί σεπτόν ἱερέων διάδημα.

Στεῤῥόψυχε,
εὐσεβείας σκήνωμα
καί τῆς πίστεως γενναῖε ὁπλῖτα,
κατεστεμμένε δυσί ἀγλαΐαις
ὡς ἱερεύς τε καί μάρτυς ἀήττητος
κατάστεψον πνευματικῷ
διαδήματι τούς νεοήλικας.

Οὐ κίνδυνος,
οὐ λιμός, Χαράλαμπες,
οὔτε θλῖψις οὐ βασάνων τό πλῆθος
τῆς τοῦ Σωτῆρος ἀγάπης χωρίσαι
τοῦ σέ στεῤῥῶς δυναμοῦντος κατίσχυσεν,
ἀλλά Χριστῷ παρεστηκώς
ἱκετεύεις ὑπέρ τῶν τιμώντων σε.

Νυττόμενος,
ὦ σοφέ Χαράλαμπες,
τῷ τοῦ Κτίστου ἡμῶν φίλτρῳ ἀγάπης
τήν τῶν ἀπίστων ἀπώσω μανίαν
καί ἄχρι τέλους αὐτῷ εὐηρέστησας·
διό καί νέους ἐκ βελῶν
νυττομένους τοῦ πλάνου διάσῳζε.

**Θεοτοκίον.**

Μητρόθεε,
χελιδών γλυκύτατε,
ἡ τό ἥδιστον τῆς χάριτος ἔαρ
ἐκ τοῦ χειμῶνος κομίσασα πάσῃ
τῇ ὑφηλίῳ, Χριστόν καθικέτευε

www.tezaurliturgic.ro

διδόναι μέλλον εὐκλεές
τοῖς τό ἔαρ τοῦ βίου διάγουσι.

Ἀπάλλαξον,
ἱερομάρτυς, ἐξ ἄχθους τήν νεολαίαν
καί τήν νίκην τῆς ἐν Χριστῷ
προόδου, Χαράλαμπες,
αὐτῇ ἐπιβράβευσον ἐν τῷ βίῳ.

Ἐπίβλεψον
ἐν εὐμενείᾳ, πανύμνητε Θεοτόκε,
ἐπί τήν ἐμήν χαλεπήν
τοῦ σώματος κάκωσιν
καί ἴασαι τῆς ψυχῆς μου τό ἄλγος.

**Αἴτησις καί τό Κοντάκιον.**

**Ἦχος β΄.** Προστασία τῶν Χριστιανῶν.

Τόν προστάτην τῶν Χριστιανῶν τόν ἀκοίμητον
καί νεότητος τόν συνεπῆ ἀντιλήπτορα
νῦν ὑμνοῦντες
πανευλαβῶς κραυγάζομεν· σοφέ,
ἀχλύν ζόφου, ἄχθους καί παθῶν
τήν καταθλίβουσαν τόν νοῦν
ἀποδίωξον τάχιστα·
γνῶσιν δέ ἀληθείας
καί σύνεσιν, μάρτυς, δίδου
τῇ νεολαίᾳ κραταιέ,
Θαυματόβρυτε Χαράλαμπες.

**Προκείμενον.**

Δίκαιος ὡς φοῖνιξ ἀνθήσει καί ὡσεί κέδρος ἡ Λιβάνῳ πληθυνθήσεται.

**Στίχος:** Θαυμαστός ὁ Θεός ἐν τοῖς Ἁγίοις αὐτοῦ.

**Εὐαγγέλιον**

(Λουκ. κα΄, 13-20)

**Δόξα.**

Ταῖς τοῦ ἀθλοφόρου
πρεσβείαις, Ἐλεῆμον,
ἐξάλειψον τά πλήθη
τῶν ἐμῶν ἐγκλημάτων.

**Καί νῦν.**

Ταῖς τῆς Θεοτόκου
πρεσβείαις, Ἐλεῆμον,
ἐξάλειψον τά πλήθη
τῶν ἐμῶν ἐγκλημάτων.

**Στίχος:** Ἐλέησόν με ὁ Θεός, κατά τό μέγα ἔλεός σου καί κατά τό πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τό ἀνόμημά μου.

**Ἦχος πλ. β΄.** Ὅλην ἀποθέμενοι.

Σκέπε τήν νεότητα
ἐκ τῶν ἀμέτρων παγίδων
τοῦ δεινοῦ ἀλάστορος,
ἀθλητά Χαράλαμπες πανοαοίδιμε·
πειρασμούς, πταίσματα,
θλίψεις καί δάκρυα
τῇ πρεσβείᾳ σου ἀπέλασον
καί τήν ἀέναον
τήν χαράν ἐμφύσησον ἅπασι
καί ἐπιτυχίας
τόν δρόμον τόν σωτήριον ταχύ,

ἱερομύστα, ὑπόδειξον
τοῖς νῦν δεομένοις σου.
**Ὁ ἱερεύς:** Σῶσον ὁ Θεός τόν λαόν σου...
**Ὠδή ζ΄.** Παῖδες Ἑβραίων.
Θεογνωσίαν καί ἀγάπην
ἀδιάπτωτον τοῖς νέοις, μάκαρ, δίδου,
ἵνα ἅλας τῆς γῆς
καί λύχνοι φαεσφόροι
γενήσονται, Χαράλαμπες,
ἐν τῷ σκάμματι τοῦ βίου.

Ἄναψον πῦρ τῆς ἀληθείας
ἐν μυχίοις καρδιῶν τῆς νεολαίας
καί σωφρόνως αὐτήν
ἐκπαίδευσον πρός γνῶσιν
τῆς σωτηρίας, ἅγιε,
τῆς νεότητος ἀλείπτα.

Ἤρεμον δώρησαι τόν βίον
ὡς καλός τῆς εὐσεβείας παιδοτρίβης,
στρατιῶτα Χριστοῦ,
Χαράλαμπες, τοῖς νέοις
τοῖς ἐκζητοῦσι μόρφωσιν
ἀληθείας ἐν τῷ κόσμῳ.
**Θεοτοκίον.**
Τύπον πιστῶν τήν νεολαίαν
ἐν ἁγνείᾳ τε καί πνεύματι καί λόγῳ
καί ἐν ἀναστροφῇ
τήν σήν σεπτήν ἀντίληψιν
νῦν πιστῶς ἐκδεχομένην.
**Ὠδή η΄.** Τόν Βασιλέα.
Ὠδαῖς τιμῶντες
τόν τοῦ Σωτῆρος ὁπλίτην,
Χαραλάμπην, αὐτῷ ἐκβοῶμεν·
ἔμπλησον σοφίας
τούς νέους, μάρτυς θεῖε.

Νοῦν ἀγνωσίας
ἐσπιλωμένον, παμμάκαρ,
ἀποκάθαρον ῥείθροις παιδείας
γνῶσιν ἀληθείας
πηγάζουσι τοῖς νέοις.

Κῆπος χαρίτων,
κλυτέ Χαράλαμπες, ὤφθης
καί τερπνός ῥοδεών νεολαίας,
ὅνπερ καταρδεύει
τό φρέαρ σωφροσύνης.
**Θεοτοκίον.**
Ἁγνείας Τόμε
καί Βίβλε βίου ἐντίμου,
τῆς νεότητος ἴθυνον τρίβους
πρός δικαιοσύνην,
ἀγάπην καί ἁγνείαν.
**Ὠδή θ΄.** Κυρίως Θεοτόκον.
Ῥιψάσπιδας τῶν θείων
πίστεως δογμάτων
καί ἐντολῶν τοῦ Κυρίου, Χαράλαμπες,

www.tezaurliturgic.ro

μή ἐπιτρέψῃς γενέσθαι
τούς νέους σήμερον.

Διάσωσον εὐχαῖς σου,
Μαγνησίας κλέος,
τούς μαθητάς ἐκ τῆς πλάνης τοῦ δράκοντος
καί πρός ὁδόν σωτηρίας
αὐτούς κατεύθυνον.

Ἰσχύι οὐρανίῳ
μισοκάλου μῆνιν
καταπατήσας, θεόφρον Χαράλαμπες,
ἐκ τῆς αὐτοῦ πανουργίας
ἡμᾶς ἀπάλλαξον.

Ἁγίασον τάς φρένας
τῶν σοί προσφευγόντων
καί τῆς ἐνθέου προόδου ἀκρότητας
τούς μαθητάς δεῖξον, μάρτυς
Χριστοῦ Χαράλαμπες.

**Θεοτοκίον.**

Σεπτόν μητέρων κάλλος,
ἄσπιλε Παρθένε,
τάς τῶν γονέων αἰτήσεις ἐκπλήρωσον
καί τῇ νεότητι δίδου
μέλλον εὐοίωνον.

**Ἄξιόν ἐστιν...** Καί τά παρόντα Μεγαλυνάρια

Χαίροις, τῶν ἀρρήτων μυσταγωγέ
χαίροις, τῶν μαρτύρων
ἀκατάβλητε κοινωνέ,
χαίροις, ὁ αὐγάζων
χαρᾷ πιστῶν καρδίας
τῶν σέ μεγαλυνόντων,
μάκαρ Χαράλαμπες.

Χαίροις, ὁ καρδίας τῶν μαθητῶν
θείᾳ εὐφροσύνῃ
καταλάμπων καί ἀρετῇ,
χαίροις, ὁ τῶν νέων
ὑπάρχων παραστάτης,
Χαράλαμπες, ἐν ὥρᾳ
δεινῶν ἀσκήσεων.

Γῆρας, ὦ Χαράλαμπες, παριδών
ἤθλησας ὡς νέος
δι' ἀγάπην τοῦ Λυτρωτοῦ
καί τῇ νεολαίᾳ
παρέχεις τῇ νομίμῳ
ἐναθλουμένῃ σθένος
ψυχῆς καί σώματος.

Ἄχθους, σύ, ἐξάλειψον τήν ἀχλύν
τήν ἐν ταῖς καρδίαις
ἐνυπάρχουσαν μαθητῶν
τῶν ἐν τῷ σταδίῳ
τῆς εὐγενοῦς ἁμίλλης
πιστῶς νῦν ῥιπτομένων.

www.tezaurliturgic.ro

θεῖε Χαράλαμπες.

Οἴησιν ἐκδίωξον ἀφ᾿ ἡμῶν
τῶν σοί προστρεχόντων,
ὦ Χαράλαμπες ἱερέ,
καί ἐν ταπειώσει
τελείᾳ καί συνέσει
συντήρησον, μαρτύρων
κλέος, σούς πρόσφυγας.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί...

Τό Τρισάγιον, τό Ἀπολυτίκιον τοῦ Ἁγίου, Ἐκτενής καί Ἀπόλυσις, μεθ' ἥν ψάλλομεν τό ἑξῆς:

**Ἦχος β΄.** Ὅτε ἐκ τοῦ Ξύλου.

Δεῦτε μαθητῶν αἱ στρατιαί
σπουδαστῶν τε νέων τά πλήθη
ἐν ταπεινώσει πολλῇ
τόν ἱερομάρτυρα
νῦν ἱκετεύσωμεν,
Χαραλάμπην, ἀκέστορα
ταχύν τε καί θεῖον
κράζοντες· συνέτισον
καί βίον κρείττονα
δεῖξον τοῖς πιστῶς σέ τιμῶσι
καί τῆς εὐκληρίας τῆς ἄνω
κοινωνούς, παμμάκαρ, πάντας ποίησον.

**Ὁ ἱερεύς:** Δι' εὐχῶν...